*φοβερωτάτην καὶ συμπόσιον ἥδιστον, ἀμφότερα γὰρ εὐταξίας εἶναι. καὶ τοὺς ἀρίστους καὶ βασιλικωτάτους ὁ ποιητὴς* (*Α* 16 et al.) *εἴωθε ‘κοσμήτορας λαῶν’ προσαγορεύειν. καὶ τὸν μέγαν θεὸν ὑμεῖς πού φατε τὴν*
616 *ἀκοσμίαν εὐταξίᾳ μεταβαλεῖν εἰς κόσμον | οὔτ’ ἀφελόντα τῶν ὄντων οὐδὲν οὔτε προσθέντα, τῷ δ’ ἕκαστον ἐπὶ τὴν προσήκουσαν χώραν καταστῆσαι τὸ κάλλιστον ἐξ ἀμορφοτάτου σχῆμα περὶ τὴν φύσιν ἀπεργασάμενον. ἀλλὰ ταῦτα μὲν τὰ σεμνότερα καὶ μείζονα παρ’ ὑμῶν μανθάνομεν· αὐτοὶ δὲ καὶ τὴν περὶ τὰ δεῖπνα δαπάνην ὁρῶμεν οὐδὲν ἔχουσαν ἐπιτερπὲς οὐδ’ ἐλευθέριον, εἰ μὴ τάξεως μετάσχοι. διὸ καὶ γελοῖόν ἐστι τοῖς μὲν ὀψοποιοῖς καὶ τραπεζοκόμοις σφόδρα μέλειν τί πρῶτον ἢ τί δεύτερον ἢ μέσον ἢ τελευταῖον ἐπάξουσιν, καὶ νὴ Δία μύρου τινὰ καὶ στεφάνων καὶ ψαλτρίας, ἂν τύχῃ παροῦσα, χώραν καὶ*
B *τάξιν εἶναι, τοὺς δ’ ἐπὶ ταῦτα καλουμένους εἰκῇ καὶ ὡς ἔτυχεν κατακλίναντα χορτάζειν, μήθ’ ἡλικίᾳ μήτ’ ἀρχῇ μήτ’ ἄλλῳ τινὶ τῶν ὁμοίων τὴν ἁρμόττουσαν ἀποδιδόντα τάξιν, ἐν ᾗ τιμᾶται μὲν ὁ προέχων ἐθίζεται δ’ ὁ δευτερεύων γυμνάζεται δ’ ὁ τάττων πρὸς διάκρισιν καὶ στοχασμὸν τοῦ πρέποντος. οὐ γὰρ ἕδρα μὲν ἔστι καὶ στάσις τοῦ κρείττονος, κατάκλισις δ’ οὐκ ἔστιν· οὐδὲ προπίεται ⟨μὲν⟩ ἑτέρῳ πρὸ ἑτέρου μᾶλλον ὁ ἑστιῶν, περὶ δὲ τὰς κατακλίσεις παρόψεται τὰς διαφοράς, εὐθὺς ἐν ἀρχῇ τὴν λεγομένην ‘μίαν Μύκονον’* (Paroem. I 122. 445) *ἀποφήνας τὸ συμπόσιον.’ ἡ μὲν οὖν τοῦ πατρὸς δικαιολογία τοιαύτη τις ἦν.*

C **3.** *Ὁ δ’ ἀδελφὸς εἶπεν ὅτι τοῦ Βίαντος οὐκ εἴη σοφώ-*